# ΧΡΥΣΟΒΟΥΛΛΟΝ

## ΑΝΔΡΟΝΙΚΟΥ Α' ΠΑΛΑΙΟΛΟΓΟΥ

### ΥΠΕΡ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΙΩΑΝΝΙΝΩΝ

---

Ἀνδρόνικος Α' ὁ Παλαιολόγος ἐξέδωκε δύο χρυσόβουλλα ὑπὲρ τῶν Ἰωαννίνων. Τούτων τὸ πρῶτον σώζεται ἐν πρωτοτύπῳ ἐν τῷ τμήματι τῶν χειρογράφων τῆς ἐν Ἀθήναις Ἐθνικῆς βιβλιοθήκης ὑπ' ἀρ. 1463[1], καὶ ἐξεδόθη, πρὶν ἢ κατατεθῇ εἰς ταύτην, ἐξ ἀπογράφου ἀνήκοντος εἰς τὸν Ἰωαννίτην Γ. Ποντίκην τὸ μὲν πρῶτον ὑπὸ τοῦ Μουστοξύδου[2], εἶτα δὲ ὑπὸ τοῦ Ἀραβαντινοῦ[3], τέλος δὲ ὑπὸ τῶν Miklosich-Müller[4]. Τὸ δὲ δεύτερον, ἀναφερόμενον εἰς χορηγίας καὶ προνόμια τῆς ἐκκλησίας Ἰωαννίνων, ἐξεδόθη ὁμοίως τὸ πρῶτον ὑπὸ τοῦ Μουστοξύδου[5], εἶτα δ' ἐξέδωκεν αὐτὸ καὶ πάλιν ὁ Ἀραβαντινὸς[6] καὶ κατόπιν οἱ Miklosich-Müller. Ἀλλὰ πλανῶνται οὗτοι λέγοντες, ὅτι τοῦ χρυσοβούλλου τούτου σώζεται νεώτερον ἀπόγραφον καὶ ἐν τῇ Ἐθνικῇ βιβλιοθήκῃ Ἀθηνῶν ὡς καὶ ὅτι ὁ Μουστοξύδης ἐξέδωκεν αὐτὸ ex archetypo, quod asservatur in familia Tsinia Ioanninorum, et apographis duobus, quorum alterum erat d. Grasset, consulis Galliae, alterum d. C. Pontici, civitatis Ioanninorum[7]. Ἀπ' ἐναντίας δ' ὁ Μουστοξύδης ἐκ τῶν δύο

[1] Σακκελίωνος Κατάλογος τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος. Ἐν Ἀθήναις. 1892 σ. 262.

[2] Ἑλληνομνήμων σ. 464 κ. ἑ. Πόθεν ἐξέδωκε δὲν μαρτυρεῖ αὐτὸς ὁ Μουστοξύδης, ἐκπεσουσῶν τῶν οἰκείων σημειώσεων τῆς εἰρημένης σελίδος. Τὰ δ' ἄνω ἀναγραφέντα μαρτυροῦνται ἐν τοῖς Acta et Diplomata τῶν *Miklosich - Müller* Τόμ. Ε' σ. 84.

[3] Χρονογραφία τῆς Ἠπείρου. Ἐν Ἀθήναις. 1856. Τόμ. Β' σ. 294 κ. ἑ.

[4] Ἔνθ' ἀν. Τόμ. Ε' σ. 77 κ. ἑ.

[5] Ἑλληνομνήμων σ. 489α κ. ἑ.

[6] Ἔνθ' ἀν. σ. 307 κ. ἑ.

[7] Ἔνθ' ἀν. σ. 87.

Ε.Υ.Δ της Κ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἰρημένων ἀπογράφων ἐξέδωκεν αὐτὸ, ηὐχήθη δὲ μόνον τὴν ἐκ τοῦ πρωτογράφου ἀντιβολὴν, λέγων αὐτολεξεὶ τάδε· «Ἐκ δύο εἰς ἡμᾶς ἀνακοινωθέντων ἀντιγράφων, τοῦ μὲν παρὰ τοῦ φιλέλληνος ἱππότου Γρασσέτου, Γάλλου προξένου ἐν Ἰωαννίνοις, τοῦ δὲ παρὰ τοῦ ἰατροῦ κυρίου Ποντίκη, ἐλήφθη τὸ ἐνταῦθα δημοσιευόμενον χρυσόβουλλον. Τὸ πρωτόγραφον εὕρηται παρὰ τῷ ἐξ Ἰωαννίνων κυρίῳ Τζίνῃ, καὶ ἡ πρὸς τοῦτο παραβολὴ τοῦ ἀντιγράφου ἤθελεν ἴσως ὑποδείξῃ πολλὰς διορθώσεις»[1].

Καὶ ὁ μὲν Μουστοξύδης ἐξέδωκε τὸ δεύτερον τοῦτο χρυσόβουλλον ἄνευ διαφόρων γραφῶν, ἅπαξ μόνον δηλῶν τοιαύτην ἐκ τοῦ ἑτέρου τῶν ἀντιγράφων, ἀλλ᾽ ὅτι ταῦτα οὐκ ὀλίγον διέφερον ἀποδεικνύεται ἐκ τῆς ἐκδόσεως τοῦ Ἀραβαντινοῦ, ἐν ᾗ πολλὰ ἔχουσι διαφόρως τῶν παρὰ τῷ Μουστοξύδῃ. Καὶ δὲν λέγει μὲν ὁ Ἀραβαντινὸς πόθεν ἀντέγραψε τὸ χρυσόβουλλον, ἀλλὰ πιθανώτατα βάσιν ἔλαβε τὸ ἕτερον αὐτῶν ἐκείνων τῶν ἀντιγράφων, ἅτινα εἶχεν ὑπ᾽ ὄψιν ὁ Μουστοξύδης. Ἐν δὲ τοῖς Acta et Diplomata τὸ χρυσόβουλλον ἐξεδόθη κατὰ τὸ κείμενον τοῦ Μουστοξύδου, καὶ ἐν ταῖς ὑποσημειώσεσιν ἀνεγράφησαν αἱ παρὰ τῷ Ἀραβαντινῷ διάφοροι γραφαί, δηλωθεῖσαι διὰ τοῦ γράμματος Α.

Ἀλλ᾽ εὐτυχῶς σώζεται ἐν τῇ βιβλιοθήκῃ τοῦ ἐν Λονδίνῳ Βρεττανικοῦ μουσείου ὑπ᾽ ἀρ. Additional 29284 τὸ πρωτότυπον τοῦ χρυσοβούλλου, φέροντος καὶ τὴν κοκκίνην ὑπογραφὴν τοῦ αὐτοκράτορος. Εἶνε δὲ βεβαίως τὸ πρωτότυπον τοῦτο αὐτὸ τὸ ἄλλοτε ἀποκείμενον ἐν Ἰωαννίνοις παρὰ τῇ οἰκογενείᾳ Τζίνη.

Τὸ ἀρχέτυπον παρουσιάζει πλείστας ὅσας διαφορὰς ἀπὸ τῶν μέχρι τοῦδε ἐκδόσεων, ἰδίως ἐν ταῖς ἀξίαις ἰδίας μελέτης τοπωνυμίαις καὶ τοῖς κυρίοις ὀνόμασι· διὸ ἐκρίναμεν αὐτὸ ἄξιον ἀναδημοσιεύσεως, θεωρήσαντες ὅλως περιττὴν τὴν ἀναγραφὴν τῶν διαφόρως ἐχόντων παρὰ τοῖς μέχρι τοῦδε ἐκδόταις. Συνεπλη-

[1] Ἔνθ᾽ ἀν. σ. 489α ἐν σημ. 1.

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΟΥ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006

ρώσαμεν δὲ μόνον ἐκ τῆς ἐκδόσεως τοῦ Μουστοξύδου, ἐντὸς ἀγκυλῶν ἐμπερικλείσαντες, τὰ ἐν τῷ πρωτογράφῳ κενὰ περὶ τὸ τέλος μέρους αὐτοῦ διαβεβρωμένου. Ἀξία δὲ λόγου εἶνε πρὸς τούτοις ἡ ἐκ τοῦ πρωτογράφου διόρθωσις τοῦ ἀριθμοῦ τῆς ἰνδικτιῶνος, ἥτις εἶνε ἡ τετάρτη καὶ οὐχὶ ἡ πέμπτη, καθ' ἃ φέρεται ἐν ταῖς μέχρι τοῦδε ἐκδόσεσι. Πράγματι δὲ ἡ τετάρτη ἰνδικτιὼν καὶ οὐχὶ ἡ πέμπτη συμπίπτει πρὸς τὸ ἔτος ἑξακισχιλιοστὸν ὀκτακοσιοστὸν εἰκοστὸν ἔνατον, ἤτοι τὸ 1321, καθ' ὃ ἀπελύθη ὁ χρυσόβουλλος λόγος τοῦ Ἀνδρονίκου. Τὸ λάθος δὲ τῶν ἀπογράφων εἶχον ἤδη παρατηρήσει οἱ ἐκδόται τῶν Acta et Diplomata, προτείναντες τὴν διόρθωσιν *πέμπτης* εἰς *τετάρτης* ὡς πρὸς τὴν ἰνδικτιῶνα ἢ τοῦ *ἐνάτου* εἰς *δεκάτου* ὡς πρὸς τὸ ἔτος[1].

Ἔχει δ' ἐν τῷ πρωτογράφῳ τὸ χρυσόβουλλον ἀπαραλλάκτως ὧδε κατὰ τὴν προκειμένην ἡμῖν φωτογραφίαν·

† Ἐπεὶ ἐν τῷ πρὸ ὀλίγου γεγονότι καὶ ἐπιχορηγηθέντι χρυσοβούλλῳ | τῆς βασιλείας μου κοινῶς πρὸς τοὺς ἐποίκους τῆς θεοσώστου πόλεως | τῶν Ἰωαννίνων διαλαμβάνεται μετὰ τῶν ἄλλων καὶ ἵνα ἡ ἐκεῖσε | ἁγιωτάτη ἐκκλησία κατέχῃ πάντα τὰ κτήματα αὐτῆς τά τε | προκατεχόμενα παρ' αὐτῆς, ἀλλὰ δὴ καὶ τὰ προσεπιδοθέντα αὐτῇ, | ἀρτίως δὲ παρεκλήτευσε τὴν βασιλείαν μου ὁ ἱερώτατος μητροπολίτης | Ἰωαννίνων καὶ ὑπέρτιμος ἵνα ἀπολυθῇ χρυσόβουλλον τῆς βασιλείας μου | διαλαμβανον κατα μέρος πάντα τὰ κτήματα τῆς εἰρημένης | ἁγιωτάτης ἐκκλησίας, ἅτινα ὡς ἀνέφερεν εἰσὶ ταῦτα· ἤγουν | τὰ μὲν προκατεχόμενα παρ' αὐτῆς διὰ δικαιωμάτων διαφόρων, | χωρίον τὸ Παροικίον· χωρίον ἡ Πόβλιτσα· χωρίον ἡ Ἄρουλα· χωρίον | ἡ Γόπλιστα· χωρίον ἡ Ῥαψίστα χωρίον ἡ Βελτζίστα· σὺν τῷ ἐκεῖσε | μοναστηρίῳ τῷ εἰς ὄνομα τιμωμένῳ τοῦ τιμίου Ἀρχιστρατήγου τῶν | ἄνω δυνάμεων μετὰ καὶ τῶν ἐν αὐτῷ εὑρισκομένων ἀνθρώπων | τοῦ τε Λουκᾶ καὶ τοῦ Πολυτεχνᾶ· καὶ τῶν συγγενῶν αὐτῶν· τὸ ἥμισυ | τοῦ χωρίου τοῦ Λοζέτζη· χωρίον τὸ Σεστρούνιν σὺν τῷ Μάρκῳ· τῷ | Τζέχλῃ τῷ Ποθητῷ· τῷ Βλαδιμηρῷ, καὶ τοῖς συγγενέσιν αὐτῶν· μετὰ τοῦ ἐκεῖσε ὄρους τοῦ Μουτζικέλη· χωρίον ἡ Το-

[1] Ἔνθ' ἀν. σ. 87.

βόλιανῖς | σὺν τῷ Βόγρῃ· ἄνευ τοῦ ἐν αὐτῷ στασίου τοῦ Χασάνη· εἰς τὸ χωρίον | τὴν Λαυσίσταν μετόχιον εἰς ὄνομα καλούμενον τοῦ Ἁγίου Γεωργίου | σὺν τῷ ἐκεῖσε σιγιλλατικίῳ αὐτοῦ· ἐν ᾧ εὑρίσκονται καὶ οἱ παῖδες | τοῦ Κομανοπούλου σὺν τῷ Τζουμάντουρα· καὶ τῷ Κουρτέσῃ καὶ ταῖς ἐκεῖσε | ἀγορασίαις αὐτῶν· καὶ τῷ βιβαρίῳ αὐτῶν· εἰς τὸ Λοζέτζιν σιγι|λλατίκιον τὸ τοῦ Σίμωνος· ἕτερον σιγιλλατίκιον ἐν τῷ χωρίῳ τῶν | Σερβάνων· ἕτερον σιγιλλατίκιον ἐν τῷ χωρίῳ Φρεαστάνων· | ἕτερον σιγιλλατίκιον εἰς τὰ Μοσμίσδενα τοῦ Κωνσταντίνου· ἕτερον | σιγιλλατίκιον τῆς Βαλτζίστου ὑπερπύρων ὀκτὼ μετὰ τῆς νομῆς αὐτοῦ | καὶ τοῦ Λάκκου καὶ τοῦ Κουκούβρικα· ἕτερον σιγιλλατίκιον ἐξαλειμματικὸν | ἐν τῷ Παροικίῳ· ἕτερον σιγιλλατίκιον τὸ στάσιον τοῦ Ἠλία· στίχος | Βλάχων οἱ Μουντζιάδες· κολωνειάτης Βλάχος μετὰ τῶν συστίχων | αὐτοῦ· στίχοι τρεῖς Βλάχων τοῦ Χαλκέα. εἰς τὸ χωρίον τὴν | Ῥασοβίσταν μυλικὰ ἐργαστήρια δύο· εἰς τὰς Πράτοκας μυλοτό|πια τρία· τὰ μὲν δύο κάτωθεν αὐτοῦ· τὸ δὲ ἕτερον εἰς τὸ ἐκεῖσε | κτίσμα· βιβάρια δύο εἰς τὴν ἐκεῖσε λίμνην· ἀλλὰ δὴ καὶ τὸ | ἥμισυ τοῦ ὀψωνίου τῆς αὐτῆς λίμνης· σὺν τούτοις δὲ | ἔχει τὸ μέρος τῆς τοιαύτης ἁγιωτάτης ἐκκλησίας, καὶ τὴν | κρίσιν τῶν τε κληρικῶν αὐτῆς· καὶ τῶν ἑτέρων ἐφ' οἷς ἀνέκαθεν | δικαιοῦται αὐτή· ἔτι δε καὶ εἰς τὴν ἐκτὸς χώραν ἐν τῷ θέματι | τῶν Ἰωαννίνων· τοῦ Ζαγορίου· τοῦ Τζεμερνίκου. τοῦ Σμοκόβου· καὶ | τοῦ Σεστρουνίου· ἀλλὰ δὴ καὶ τὰς ἐκεῖσε τέσσαρας ἐπισκοπὰς[1] | καὶ πανήγυριν ἐπὶ τῇ μνήμῃ τοῦ τιμίου Ἀρχιστρατήγου τῶν | ἄνω δυνάμεων ἐπὶ ἡμέραις δεκαπέντε· ἀπ' αὐτῆς τῆς ἡμέρας | δηλονότι τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου, μέχρις ὅλης | τῆς ὀγδόης τοῦ Νοεβρίου μηνός· καὶ τὸ μὲν ἥμισυ τοῦ ἀπὸ | ταύτης εἰσοδήματος ἔχει ἡ τοιαύτη ἁγιωτάτη ἐκκλησία· τὸ δὲ | ἕτερον ἥμισυ οἱ κληρικοὶ αὐτῆς, ἐπειδὴ οἱ τοιοῦτοι ἔχουσι | τεταγμένον ἀρχῆθεν καὶ λαμβάνουσι καὶ ἀπὸ τῶν εἰσοδημάτων | τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας κατέτος σιτοκρίθου μοδίους | τῆς εἰσόδου, τριακοσίους· καὶ βαγένιον πλῆρες οἴνου τὸ τοῦ | πρωτοσυγκέλλου καὶ ὑπέρπυρα πεντήκοντα· κατέχει δὲ ὡσαύτως | ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία, καὶ Ἰουδαίους τρεῖς· τά τε | παιδία τοῦ Λαμέρη· τοῦ Δαβίδη· καὶ τοῦ Σαμαρία· | τὰ δὲ προσεπιδοθέντα αὐτῇ παρὰ τοῦ περιποθήτου | γαμβροῦ τῆς βασιλείας μου τοῦ πιγκέρνη Συργιάννη τοῦ Παλαι|ολόγου, εἰσὶ ταῦτα τὸ ἥμισυ τοῦ χωρίου τοῦ Λοζετζίου | σὺν τῇ ἐκεῖσε ἀγορᾷ τοῦ Κασιανοῦ· Βλάχων καπνοὶ | εἴκοσι σὺν τῷ Βισοτᾷ καὶ τῷ Λιγερῷ· ἐδόθη δὲ κατὰ | λόγον προσενέξεως πρὸς τὴν

[1] Αἱ λέξεις *τέσσαρας ἐπισκοπὰς* δι' ἄλλης χειρὸς ἐπὶ ἑτέρων διαγεγραμμένων.

αὐτὴν ἁγιωτάτην ἐκκλη|σίαν καὶ παρὰ τοῦ προκαθημένου τῆς θεοσώστου πόλεως | τῶν Ἰωαννίνων σεβαστοῦ τοῦ Σγούρου, τὸ μονύδριον τῶν | Μερδεαστάνων ὅπερ εἶχεν ἀπὸ γονικότητος καὶ διὰ | χρυσοβούλλου τῆς βασιλείας μου, τὴν τοιαύτην παράκλησιν | τοῦ δηλωθέντος ἱερωτάτου μητροπολίτου Ἰωαννίνων | καὶ ὑπερτίμου εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου, | ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ ῥηθείσῃ ἁγιωτάτῃ | ἐκκλησίᾳ, τὸν παρόντα χρυσόβουλλον λόγον | δι' οὗ προστάσσει καὶ διορίζεται κατέχειν αὐτὴν πάντα | τὰ ἀνωτέρω κατα μέρος δηλωθέντα τά τε προκατεχό|μενα παρ' αὐτῆς· ἔτι δὲ καὶ τὰ προσεπιδοθέντα αὐτῇ | μετὰ πάσης τῆς νομῆς καὶ περιοχῆς καὶ τῶν δικαίων | αὐτῶν, ἀναφαιρέτως, ἀνενοχλήτως καὶ ἀδιασείστως· | ὅθεν καὶ τῇ ἰσχύι καὶ δυνάμει τοῦ παρόντος | χρυσοβούλλου λόγου τῆς βασιλείας μου | καθέξει καὶ νεμηθήσεται ταῦτα τὸ μέρος τῆς δηλωθείσης | ἁγιωτάτης ἐκκλησίας, ἀνώτερα πάσης καὶ παντοίας | δημοσιακῆς ἐπηρείας καὶ συζητήσεως καὶ ἑτέρας | ἁπάσης διενοχλήσεως· οὔτε γὰρ οἱ κατὰ καιροὺς | κεφαλατικεύοντες εἰς τὸν δηλωθέντα τόπον ἐν ᾧ ταῦτα | εὑρίσκονται· οὔτε οἱ τὰ δημόσια διενεργοῦντες ἐκεῖσε | οὔτε ἕτεροι τινὲς, ὀφείλουσιν ἐπιβαλεῖν χεῖρα πλεονε|κτικὴν καὶ ἄδικον ἐπὶ πᾶσι τοῖς κατα μέρος διαληφθεῖσι | κτήμασι τῆς αὐτῆς ἁγιωτάτης ἐκκλησίας· ἐπεὶ βού|λεται ἡ βασιλεία μου καὶ ἔχει θέλημα, διατηρεῖσθαι ταῦτα | πάντα εἰς τοὺς ἑξῆς καὶ διηνεκεῖς χρόνους, ἀνενό|χλητα παντελῶς καὶ ἀδιάσειστα· ἐπεὶ δὲ ὡς ἐγνώρισεν | ἡ βασιλεία μου, κατεῖχεν ἀνέκαθεν τὸ μέρος τῆς αὐτῆς | ἁγιωτάτης ἐκκλησίας καὶ περὶ τὴν Δρυινούπολιν χωρίον | τὴν Σουχὰν ὅπερ καὶ κατὰ λόγον ἀλλαγωγῆς ἐδέξατο | ὁ ἐπὶ τοῦ στρατοῦ ἐκεῖνος ὁ Καβάσιλας, δεδωκὼς πρὸς τὸ | μέρος αὐτῆς τοὺς Μ[ελισσο]υργοὺς [οὓς κα]τεῖχεν ἡ μήτηρ τοῦ | Θωμᾶ [ἐκείνου, οἵτινες καὶ μετὰ ταῦτα ἐξεδόθησαν ἀλλα]χοῦ | καθ[ὼς διέκρινεν ἡ βασιλεία μου, διορίζεται ἡ βασιλεία μ]ου | ἵνα [καὶ πάλιν κατέχῃ ἡ αὐτὴ ἁγιωτάτη ἐκκλησία τὸ] | δηλωθὲν χωρίον τ[ὴν Σουχὰν ἀνενοχλήτως καὶ ἀδι]α[σείστως μετὰ τῶ[ν ἐν αὐτῷ] ἀστρατεύ[των Βλάχων] καθὼς | κατεῖχε καὶ πρότ[ερον]. Τού[του γὰρ χάριν ἐγένετο αὐτῇ | καὶ ὁ παρὼν χρυσόβουλλος λόγος | τῆς βασιλείας μου ἀπολυθεὶς κατὰ μῆνα | Ἰούνιον τῆς ἐνισταμένης τετάρτης | ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ | ὀκτακοσιοστοῦ εἰκοστοῦ ἐνάτου | ἔτους ἐν ᾧ καὶ τὸ ἡμέτερον | εὐσεβὲς καὶ θεοπρό|βλητον ὑπεσημήνατο | κράτος.

† Ἀνδρόνικος ἐν Χριστῷ τῷ | θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκρά|τωρ Ῥωμαίων ὁ Παλαιολόγος †